δυνάμει μόνον σύμμετρος οὖσα τῇ ὅλῃ· μετὰ δὲ τῆς ὅλης
μέσον περιέχουσα :-

πβ Τῇ ἐλάσσονι μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει
ἀσύμμετρος οὖσα τῇ ὅλῃ· ποιοῦσα μετὰ τῆς ὅλης
τὸ μὲν ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν· τὸ δὲ
δὶς ὑπ' αὐτῶν μέσον. ἔστω ἡ ἐλάσσων ἡ ΑΒ. καὶ τῇ ΑΒ
προσαρμόζουσα ἔστω ἡ ΒΓ· αἱ ἄρα ΑΓ ΓΒ δυνάμει
εἰσὶν ἀσύμμετροι· ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν
ἀπ' αὐτῶν τετραγώνων ῥητόν· τὸ δὲ δὶς ὑπ' αὐτῶν
μέσον. λέγω ὅτι τῇ ΑΒ ἑτέρα εὐθεῖα οὐ προσαρμό-
σει τὰ αὐτὰ ποιοῦσα. εἰ γὰρ δυνατόν, προσαρμο-
ζέτω ἡ ΒΔ· καὶ αἱ ΑΔ ΔΒ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι·
ποιοῦσαι τὰ μὲν ἀπὸ τῶν ΑΔ ΔΒ τετράγωνα ἅμα
ῥητόν· τὸ δὲ δὶς ὑπὸ τῶν ΑΔ ΔΒ μέσον. καὶ ἐπεὶ ᾧ
ὑπερέχει τὰ ἀπὸ τῶν ΑΔ ΔΒ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ.
τούτῳ ὑπερέχει καὶ τὸ δὶς ※ ἀπὸ τῶν ΑΔ ΔΒ τετράγω-
να τῶν ἀπὸ τῶν ΑΓ ΓΒ τετραγώνων ὑπερέχει ῥητῷ· ῥητὰ
γάρ ἐστιν ἀμφότερα· καὶ τὸ δὶς ὑπὸ τῶν ΑΔ ΔΒ τοῦ
δὶς ὑπὸ τῶν ΑΓ ΓΒ ὑπερέχει ῥητῷ· ὅπερ ἐστὶν ἀδύνα-
τον· μέσα γάρ ἐστιν ἀμφότερα· τῇ ἄρα ἐλάσσονι
μία μόνον προσαρμόζει εὐθεῖα δυνάμει μόνον σύμ-
μετρος οὖσα τῇ ὅλῃ· καὶ ποιοῦσα τὰ μὲν ἀπ' αὐ-
τῶν τετράγω-
να ἅμα ῥη-
τόν· τὸ δὲ δὶς
ὑπ' αὐτῶν μέσον :-

※ ὑπὸ τῶν ΑΔ ΔΒ. τοῦ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ· τὰ δὲ

ἄλλως

πγ Τῇ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσῃ μία μόνον προσαρ-
μόζει εὐθεῖα δυνάμει ἀσύμμετρος οὖσα τῇ ὅλῃ· μετὰ
δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ'
αὐτῶν τετραγώνων μέσον· τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥη-
τόν· ἔστω ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα ἡ ΑΒ [illegible]
προσαρμόζουσα δὲ ἡ ΒΓ· αἱ ἄρα ΑΓ ΓΒ δυνάμει εἰσὶν ἀσύμ-
μετροι· ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν
ΑΓ ΓΒ τετραγώνων μέσον· τὸ δὲ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ
ῥητόν. λέγω ὅτι τῇ ΑΒ ἑτέρα οὐ προσαρμόσει τα-
αὐτὰ ποιοῦσα. εἰ γὰρ δυνατόν, προσαρμοζέτω
ἡ ΒΔ· καὶ αἱ ΑΔ ΔΒ ἄρα εὐθεῖαι δυνάμει εἰσὶν ἀσύμ-
μετροι· ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ
τῶν ΑΔ ΔΒ τετραγώνων μέσον· τὸ δὲ δὶς ὑπὸ τῶν
ΑΔ ΔΒ ῥητόν. ἐπεὶ οὖν ᾧ ὑπερέχει τὰ ἀπὸ τῶν
ΑΔ ΔΒ τῶν ἀπὸ τῶν ΑΓ ΓΒ. τούτῳ ὑπερέχει καὶ
τὸ δὶς ὑπὸ τῶν ΑΔ ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ ἀ-
κολούθως τοῖς πρὸ αὐτοῦ· τὸ δὲ δὶς ὑπὸ τῶν ΑΔ
ΔΒ τοῦ δὶς ὑπὸ τῶν ΑΓ ΓΒ ὑπερέχει ῥητῷ· ῥητὰ
γάρ ἐστιν ἀμφότερα· καὶ τὰ ἀπὸ τῶν ΑΔ ΔΒ ἄρα
τῶν ἀπὸ τῶν ΑΓ ΓΒ ὑπερέχει ῥητῷ· ὅπερ ἐστὶν ἀ-
δύνατον· μέσα γάρ ἐστιν ἀμφότερα· οὐκ ἄρα τῇ
ΑΒ ἑτέρα προσαρμόσει εὐθεῖα δυνάμει ἀσύμμετρος
οὖσα τῇ ὅλῃ· μετὰ δὲ τῆς ὅλης ποιοῦσα τὸ μὲν
συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον·
τὸ δὲ δὶς ὑπ'
αὐτῶν ῥη



BIBLIOTHECA BODLEIANA